[20]καὶ ἐποίησεν οὕτως Εζεκιας ἐν παντὶ Ιουδα καὶ ἐποίησεν τὸ κα- 20
λὸν καὶ τὸ εὐθὲς ἐναντίον τοῦ κυρίου θεοῦ αὐτοῦ. [21]καὶ ἐν παντὶ 21
ἔργῳ, ἐν ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ κυρίου, καὶ ἐν τῷ νόμῳ
καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησεν τὸν θεὸν αὐτοῦ ἐξ ὅλης
ψυχῆς αὐτοῦ καὶ ἐποίησεν καὶ εὐοδώθη.

[1]Καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήθειαν ταύτην ἦλθεν 32
Σενναχηριμ βασιλεὺς Ἀσσυρίων καὶ ἦλθεν ἐπὶ Ιουδαν καὶ παρεν-
έβαλεν ἐπὶ τὰς πόλεις τὰς τειχήρεις καὶ εἶπεν προκαταλαβέσθαι αὐ-
τάς. [2]καὶ εἶδεν Εζεκιας ὅτι ἥκει Σενναχηριμ καὶ τὸ πρόσωπον αὐ- 2
τοῦ τοῦ πολεμῆσαι ἐπὶ Ιερουσαλημ, [3]καὶ ἐβουλεύσατο μετὰ τῶν 3
πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι τὰ ὕδατα τῶν πη-
γῶν, ἃ ἦν ἔξω τῆς πόλεως, καὶ συνεπίσχυσαν αὐτῷ. [4]καὶ συνήγα- 4
γεν λαὸν πολὺν καὶ ἐνέφραξεν τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν πο-
ταμὸν τὸν διορίζοντα διὰ τῆς πόλεως λέγων Μὴ ἔλθῃ βασιλεὺς
Ασσουρ καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ. [5]καὶ κατίσχυσεν Εζε- 5
κιας καὶ ᾠκοδόμησεν πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ πύργους
καὶ ἔξω προτείχισμα ἄλλο καὶ κατίσχυσεν τὸ ἀνάλημμα πόλεως
Δαυιδ καὶ κατεσκεύασεν ὅπλα πολλά. [6]καὶ ἔθετο ἄρχοντας τοῦ 6
πολέμου ἐπὶ τὸν λαόν, καὶ συνήχθησαν πρὸς αὐτὸν εἰς τὴν πλα-
τεῖαν τῆς πύλης τῆς φάραγγος, καὶ ἐλάλησεν ἐπὶ καρδίαν αὐτῶν
λέγων [7]Ἰσχύσατε καὶ ἀνδρίζεσθε, μὴ πτοηθῆτε ἀπὸ προσώπου 7
βασιλέως Ασσουρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔθνους τοῦ μετ᾽
αὐτοῦ, ὅτι μεθ᾽ ἡμῶν πλείονες ἢ μετ᾽ αὐτοῦ· [8]μετ᾽ αὐτοῦ βραχίονες 8
σάρκινοι, μεθ᾽ ἡμῶν δὲ κύριος ὁ θεὸς ἡμῶν τοῦ σῴζειν καὶ τοῦ
πολεμεῖν τὸν πόλεμον ἡμῶν. καὶ κατεθάρσησεν ὁ λαὸς ἐπὶ τοῖς
λόγοις Εζεκιου βασιλέως Ιουδα. — [9]καὶ μετὰ ταῦτα ἀπέστειλεν 9
Σενναχηριμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας αὐτοῦ ἐπὶ Ιερουσαλημ,
καὶ αὐτὸς ἐπὶ Λαχις καὶ πᾶσα ἡ στρατιὰ μετ᾽ αὐτοῦ, καὶ ἀπέστει-
λεν πρὸς Εζεκιαν βασιλέα Ιουδα καὶ πρὸς πάντα Ιουδαν τὸν ἐν
Ιερουσαλημ λέγων [10]Οὕτως λέγει Σενναχηριμ ὁ βασιλεὺς Ἀσσυρίων 10
Ἐπὶ τίνι ὑμεῖς πεποίθατε καὶ κάθησθε ἐν τῇ περιοχῇ ἐν Ιερουσα-
λημ; [11]οὐχὶ Εζεκιας ἀπατᾷ ὑμᾶς τοῦ παραδοῦναι ὑμᾶς εἰς θάνατον 11
καὶ εἰς λιμὸν καὶ εἰς δίψαν λέγων Κύριος ὁ θεὸς ἡμῶν σώσει
ἡμᾶς ἐκ χειρὸς βασιλέως Ασσουρ; [12]οὐχ οὗτός ἐστιν Εζεκιας, ὃς 12
περιεῖλεν τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰ ὑψηλὰ αὐτοῦ καὶ εἶπεν τῷ

20 του > A || 21 εν 2⁰ et 3⁰ > B† | ψυχης] pr. της A | και paenult. B *L*†] > rel.

32 2 και το] κατα A || 3 των 2⁰ > A | συνεπισχυσεν B† || 4 βασιλευς] pr. ο A || 5 κατεσκαμμενον] -σπασμενον A || 6 εις] επι B | καρδιαν] pr. την A || 7 του 1⁰ > A || 8 μετ αυτου > A || 9 ιουδαν] ν > B || 10 σενναχ. > B† | τινι] τι B† | και compl.] > BA | καθησεσθε B || 11 εις 2⁰ > A† | διψαν] θλιψιν A† | ημας] υμ. BA (A etiam υμων pro ημων) || 12 ουχ > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/913 UNIVERSITÄT LEIPZIG